e | rara

# www.e-rara.ch

# Diodori Siculi bibliothecae historicae quae supersunt

## Diodorus

## Lipsiae, [17--]

## ETH-Bibliothek Zürich

Shelf Mark: Rar 8145

Persistent Link: https://doi.org/10.3931/e-rara-33647

Inhaltsverzeichnis

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗι ΕΙΚΟΣΤΗι
# ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

ΩΣ Ἀγαθοκλῆς διαβὰς εἰς Λιβύην ἐνίκησε παρατάξει Καρχηδονίους, καὶ πολλῶν πόλεων ἐκυρίευσεν.

Ὡς Κάσσανδρος Αὐτολέοντι μὲν ἐβοήθησε, πρὸς δὲ Πτολεμαῖον τὸν Ἀντιγόνου στρατηγὸν ἀποστάτην γενόμενον συμμαχίαν ἐποιήσατο.

Ὡς Πτολεμαῖος μὲν τῶν περὶ Κιλικίαν πόλεων τινὰς εἷλε, Δημήτριος δ᾽ ὁ Ἀντιγόνου ταύτας ἀνεκτήσατο.

Ὡς Πολυσπέρχων μὲν Ἡρακλέα τὸν ἐκ Βαρσίνης ἐπεχείρησε κατάγειν ἐπὶ τὴν πατρῴαν βασιλείαν· Πτολεμαῖος δὲ Νικοκρέοντα τὸν βασιλέα τῶν Παφίων ἐπανείλατο.

Περὶ τῶν πραχθέντων ἐν μεν τῷ Βοσπόρῳ τοῖς βασιλεῦσι, κατὰ δὲ τὴν Ἰταλίαν Ῥωμαίοις καὶ Σαμνίταις.

Πτολεμαίου στρατεία ἐπὶ Κιλικίαν, καὶ τὴν ἑξῆς παραθαλάττιον.

Ἡρακλέους ἀναίρεσις ὑπὸ Πολυσπέρχοντος.

Ἀμίλκου τοῦ στρατηγοῦ τῶν Καρχηδονίων ἅλωσις ὑπὸ Συρακουσίων.

Ὡς Ἀκραγαντῖνοι τοὺς Σικελιώτας ἐλευθεροῦν ἐπεχείρησαν.

Ὡς τῶν Συρακουσίων εἴκοσι ναῦς ἥλωσαν.

Περὶ τῆς ἐν Λιβύῃ γενομένης στάσεως, καὶ τοῦ κινδύνου τοῦ περὶ τὸν Ἀγαθοκλέα.

Περὶ τῶν πραχθέντων Ἀππίῳ Κλαυδίῳ κατὰ τὴν τιμητικὴν ἀρχήν.

Παράδοσις Κορίνθου καὶ Σικυῶνος Πτολεμαίῳ.

Κλεοπάτρας ἐν Σάρδεσιν ἀναίρεσις.

Ὡς Ἀγαθοκλῆς Καρχηδονίους μὲν ἐνίκησε μάχῃ, τὸν δὲ δυνάστην τῆς Κυρήνης Ὀφέλλαν μεταπεμψάμενος ἐπὶ κοινοπραγίαν κατέσφαξε, καὶ τὴν μετὰ τούτου δύναμιν παρέλαβεν.

Ὡς Καρχηδόνιοι Βομίλκαν ἐπιθέμενον τυραννίδι κατέλυσαν.

Ὡς Ἀγαθοκλέους ἀποπέμψαντος εἰς Σικελίαν τὰ λάφυρα, τινὰ τῶν πλοίων ἐναυάγησεν.

Ὡς Ῥωμαῖοι Μαρσοῖς μὲν πολεμουμένοις ὑπὸ Σαμνιτῶν ἐβοήθησαν, ἐν δὲ τῇ Τυῤῥηνίᾳ Κάπριον ἐξεπολιόρκησαν.

Δημητρίου τοῦ πολιορκητοῦ κατάπλους εἰς τὸν Πειραιᾶ, καὶ τῆς Μουνυχίας ἅλωσις.

Ἐλευθέρωσις Ἀθηναίων καὶ Μεγαρέων.

Πλοῦς ἐπὶ Κύπρον Δημητρίου, καὶ μάχη πρὸς

Μενέλαον τὸν στρατηγὸν; καὶ Σαλαμῖνος πολιορκία.

Ναυμαχία Δημητρίου πρὸς Πτολεμαῖον, καὶ νίκη Δημητρίου.

Παράληψις Κύπρου τε πάσης, καὶ τῆς Πτολεμαίου δυνάμεως.

Ὡς μετὰ τὴν νίκην ταύτην Ἀντιγόνου καὶ Δημητρίου περιθεμένων διάδημα, ζηλοτυπήσαντες οἱ λοιποὶ δυνάσται βασιλεῖς ἑαυτοὺς ἀνηγόρευσαν.

Ὡς Ἀγαθοκλῆς Ἰτυκὴν ἐκπολιορκήσας διεβίβασε μέρος τῆς δυνάμεως εἰς τὴν Σικελίαν.

Ὡς Ἀκραγαντῖνοι παραταξάμενοι πρὸς τοὺς Ἀγαθοκλέους στρατηγοὺς ἡττήθησαν.

Ὡς Ἀγαθοκλῆς Ἡράκλειαν μὲν καὶ Θέρμα καὶ Κεφαλοίδιον προσηγάγετο, τὴν δὲ τῶν Ἀπολλωνιατῶν χώραν καὶ πόλιν ἐξηνδραποδίσατο.

Ὡς Ἀγαθοκλῆς ἐν Σικελίᾳ ναυμαχίᾳ μὲν ἐνίκησε Καρχηδονίους, μάχῃ δ᾽ Ἀκραγαντίνους.

Διάβασις εἰς Λιβύην Ἀγαθοκλέους τὸ δεύτερον, καὶ ἧττα.

Αἱ γενόμεναι ταραχαὶ κατὰ τὰ ἑκατέρων στρατόπεδα.

Ἀγαθοκλέους δρασμὸς εἰς Σικελίαν.

Αἱ γενόμεναι σφαγαὶ τῶν Σικελιωτῶν ὑπὸ Ἀγαθοκλέους.

Στρατεία Ἀντιγόνου βασιλέως μεγάλαις δυνάμεσιν ἐπ᾽ Αἴγυπτον.

Ἀπόστασις Πασιφίλου στρατηγοῦ ἀπὸ Ἀγαθοκλέους.

Ὡς Καρχηδόνιοι συνέθεντο τὴν εἰρήνην πρὸς Ἀγαθοκλέα.

Ὡς Ῥόδον πολιορκήσας Δημήτριος διελύσατο τὴν πολιορκίαν.

Ὡς Ῥωμαῖοι Σαμνίτας δυσὶ μάχαις ἐνίκησαν.

Ὡς Δημήτριος ἀπὸ τῆς Ῥόδου πλεύσας εἰς τὴν Ἑλλάδα, τὰς πλείστας πόλεις ἠλευθέρωσεν.

Ὡς Ἀγαθοκλῆς Λιπαραίους χρήματα ἀδίκως εἰσπραξάμενος, ἀπέβαλε τὰς ναῦς, ἐν αἷς ἦν τὰ χρήματα.

Ὡς Ῥωμαῖοι τὸ μὲν ἔθνος τῶν Ἄσκλων κατεπολέμησαν, πρὸς δὲ τοὺς Σαμνίτας συνέθεντο τὴν εἰρήνην.

Τὰ πραχθέντα Κλεονύμῳ περὶ τὴν Ἰταλίαν.

Δι᾽ ἃς αἰτίας οἱ περὶ Κάσσανδρον καὶ Λυσίμαχον, ἔτι δὲ Σέλευκον καὶ Πτολεμαῖον, συνδραμόντες ἐνεστήσαντο τὸν πόλεμον πρὸς Ἀντίγονον.

Στρατεία Κασσάνδρου μὲν ἐπὶ Δημήτριον εἰς Θεσσαλίαν, Λυσιμάχου δ᾽ εἰς τὴν Ἀσίαν.

Ἀπόστασις Δοκίμου καὶ Φοίνικος τῶν στρατηγῶν ἀπ᾽ Ἀντιγόνου.

Ὡς Ἀντίγονος ἀντιστρατοπεδεύσας Λυσιμάχῳ, πολὺ προεῖχε ταῖς δυνάμεσιν.

Ὡς Δημήτριον τὸν υἱὸν ἐκ τῆς Ἑλλάδος μετεπέμψατο.

Ὡ Πτολεμαῖος μὲν ἐχειρώσατο τὰς πόλεις τὰς ἐν τῇ Κοίλῃ Συρίᾳ, Σέλευκος δ᾽ ἐκ τῶν ἄνω σατραπειῶν τὴν κατάβασιν ἐποιήσατο μέχρι Καππαδοκίας.

Διάλυσις ἁπασῶν τῶν δυνάμεων εἰς χειμασιαν.

---